| Matricola o motto: |
| --- |

| **Letteratura greca (i+p) – a.a. 2010-2011**<br>Esercizi/3 | **prof. G. Avezzù**<br>29.X.2010 |
| --- | --- |

**1.** *Tradurre:*

Οἶδα μὲν οὖν ὅτι χαλεπόν ἐϲτιν ὃ μέλλω ποιεῖν, ἀνδρὸϲ ἀρετὴν διὰ λόγων ἐγκωμιάζειν. Ϲημεῖον δὲ μέγιϲτον· περὶ μὲν γὰρ ἄλλων πολλῶν καὶ παντοδαπῶν λέγειν τολμῶϲιν οἱ περὶ τὴν φιλοϲοφίαν ὄντεϲ, περὶ δὲ τῶν τοιούτων οὐδεὶϲ πώποτ᾽ αὐτῶν ϲυγγράφειν ἐπεχείρηϲεν. Καὶ πολλὴν αὐτῶν ἔχω ϲυγγνώμην.

Τοῖϲ μὲν γὰρ ποιηταῖϲ πολλοὶ δέδονται κόϲμοι· καὶ γὰρ πληϲιάζονταϲ τοὺϲ θεοὺϲ τοῖϲ ἀνθρώποιϲ οἷόν τ᾽ αὐτοῖϲ ποιῆϲαι καὶ διαλεγομένουϲ καὶ ϲυναγωνιζομένουϲ οἷϲ ἂν βουληθῶϲιν, καὶ περὶ τούτων δηλῶϲαι μὴ μόνον τοῖϲ τεταγμένοιϲ ὀνόμαϲιν, ἀλλὰ τὰ μὲν ξένοιϲ, τὰ δὲ καινοῖϲ, τὰ δὲ μεταφοραῖϲ, καὶ μηδὲν παραλιπεῖν, ἀλλὰ πᾶϲιν τοῖϲ εἴδεϲιν διαποικῖλαι τὴν ποίηϲιν· τοῖϲ δὲ περὶ τοὺϲ λόγουϲ οὐδὲν ἔξεϲτιν τῶν τοιούτων, ἀλλ᾽ ἀποτόμωϲ καὶ τῶν ὀνομάτων τοῖϲ πολιτικοῖϲ μόνον καὶ τῶν ἐνθυμημάτων τοῖϲ περὶ αὐτὰϲ τὰϲ πράξειϲ ἀναγκαῖόν ἐϲτιν χρῆϲθαι.

Πρὸϲ δὲ τούτοιϲ οἱ μὲν μετὰ μέτρων καὶ ῥυθμῶν ἅπαντα ποιοῦϲιν, οἱ δ᾽ οὐδενὸϲ τούτων κοινωνοῦϲιν· ἃ τοϲαύτην ἔχει χάριν ὥϲτ᾽, ἂν καὶ τῇ λέξει καὶ τοῖϲ ἐνθυμήμαϲιν ἔχῃ κακῶϲ, ὅμωϲ αὐταῖϲ ταῖϲ εὐρυθμίαιϲ καὶ ταῖϲ ϲυμμετρίαιϲ ψυχαγωγοῦϲιν τοὺϲ ἀκούονταϲ.

Isocrate, *Evagora* 8-10

**2.** *Analizzare almeno due fra gli elementi appartenenti al lessico stilistico/retorico evidenziati con colori diversi nella pagina di Isocrate.*

Matricola o motto: